ἐνεργείας, καὶ εἴ τις ἐπὶ ψυχῆς ὄλεθρος εἴη, οὗτος ἂν εἴη· οἷον γὰρ ἀπόλλυται σβεννυμένης ἐν αὐτῇ τῆς κατὰ νοῦν ἐνεργείας. ἃ δὲ δοκεῖ ἐνέργειαν ἀποστρέφειν, ταῦτα παθήματα ἂν εἴη μᾶλλον, οὐκ ἐνεργήματα, καὶ οὐκ αὐτῆς ταῦτα, ἀλλὰ τοῦ ζῴου, κατ᾽ αὐτὴν μέντοι. τὸ γὰρ λογίζεσθαι καὶ θεωρεῖν μόνον αὐτῆς, καὶ τοῦθ᾽ ἡ κυρίως ἐνέργεια, τὰ δὲ παρὰ τοῦτο τοῦ ζῴου πάντα, καὶ πάθη μᾶλλον, οὐκ ἐνέργειαι.

**6.** Ἀλλὰ πῶς, εἰ κατ᾽ αὐτὴν εὖ πάσχει τὰ ζῷα, οὐκ αὐτὴ παθητική; πάσχειν γὰρ κατὰ τὴν παθητικὴν εὔλογον ψυχὴν ὥσπερ καὶ ὑφαίνειν κατὰ τὴν ὑφαντικήν. ἢ τοῦτο μὲν ἀληθὲς καὶ διδόναι χρή, ἀπορητέον δὲ περὶ τῆς καλουμένης παθητικῆς καὶ περὶ τοῦ πάσχειν ὅλως, πῶς γίνεται, πότερα τῷ μὴ ἐνεργεῖν τὴν ψυχὴν κατὰ λόγον ἢ ἄλλως; εἰ[τε] γὰρ τῷ μὴ ἐνεργεῖν, οὐθέν ἐστι πάθος ἐπαινετόν. φαίνεται δ᾽ ⟨ἐπαινετὰ⟩ πάντα ὁπόσα μετρεῖται ὑπὸ τοῦ λόγου, χρήσιμα ὄντα (ἀρετὰς γὰρ αὐτὰ καλοῦμεν πολιτικὰς καὶ ἐπαινοῦμεν τὸν ἔχοντα αὐτάς)· μετρεῖσθαι δ᾽ οὐκ ἂν ἠδύνατο μὴ ἐφορῶντος αὐτὰ ⟨τοῦ⟩ νοῦ καὶ ἐνδιδόντος αὐτοῖς ἀφ᾽ αὐτοῦ μέτρον καὶ ὅρον· τοῦτο δ᾽ οὐθὲν ἀλλ᾽ ἢ ἐνεργοῦντος περὶ αὐτά, ἐνεργεῖ τε οὖν ἅμα ὁ λόγος καὶ πάσχει τὸ ζῷον, καὶ τῷ αὐτῷ καὶ λογιζόμεθα ἅμα καὶ πάσχομεν· ἓν γὰρ εἶδος ἔχει. δυνάμεις δ᾽ ἦσαν πλείους, ἥ τε τοῦ ἐνεργεῖν καὶ μή; μᾶλλον δὲ μία δύναμις· τὸ γὰρ μὴ ἐνεργεῖν ἀδυναμίας ἂν εἴη, καθ᾽ ὃ καὶ ἀλογιστεῖν ἐλέγετο τὸ ζῷον.

**7.** Ἀλλὰ τῇ τε ὑποθέσει ταύτῃ φαίνεται πλείω τὰ ἑπόμενα ἄτοπα, καὶ ἄλλως ἀποδοῦναι τὰ πάθη τοῖς ἀνθρώποις οὐκ εὔπορον. ἐπισκεπτέον δ᾽ ἔτι, πῶς ἔφαμεν ἐνερ-